# Psalm 119

Septuaginta (LXX)

**1** ᾠδὴ τῶν ἀναβαθμῶν πρὸς κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα καὶ εἰσήκουσέν μου

**2** κύριε ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων καὶ ἀπὸ γλώσσης δολίας

**3** τί δοθείη σοι καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν

**4** τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα σὺν τοῖς ἄνθραξιν τοῖς ἐρημικοῖς

**5** οἴμμοι ὅτι ἡ παροικία μου ἐμακρύνθη κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων κηδαρ

**6** πολλὰ παρῴκησεν ἡ ψυχή μου

**7** μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός ὅταν ἐλάλουν αὐτοῖς ἐπολέμουν με δωρεάν



Druckausgabe erzeugt am 07.07.2025 auf bibelkommentare.de